δὴ πολλῷ βελτίων οὖσα τῆς σωματικῆς εὐμορφίας, ἐφ' ἡμῖν δὲ ἅπασα κεῖται καὶ τῇ ῥοπῇ τοῦ θεοῦ. Φιλάνθρωπος γὰρ ὢν ὁ Δεσπότης ἡμῶν καὶ ἐν τούτῳ μάλιστα τὸ ἡμέτερον ἐτίμησεν γένος, τὰ μὲν ἐλάττονα καὶ εἰς οὐδὲν μέγα συντελοῦντα ἡμῖν ἀλλ' ὅπως ἂν συμπέσῃ ἀδιάφορα ὄντα, τῇ τῆς φύσεως ἐπιτρέψας ἀνάγκῃ, τῶν δὲ ὄντως καλῶν ἡμᾶς ποιήσας εἶναι δημιουργούς. Εἰ μὲν γὰρ καὶ τοῦ σωματικοῦ κάλλους ἡμᾶς ἐποίησεν εἶναι κυρίους, καὶ φροντίδα ἂν περιττὴν ἐδεξάμεθα καὶ ἐν τοῖς οὐδὲν ὠφελοῦσιν τὸν ἅπαντα ἂν ἀπησχολήσαμεν χρόνον καὶ τῆς ψυχῆς σφόδρα ἂν ἠμελήσαμεν. Ὅπου γὰρ νῦν οὐκ οὔσης ἡμῖν τῆς ἐξουσίας ταύτης ἅπαντα πράττομεν καὶ βιαζόμεθα καὶ σκιαγραφίαις καλλύνομεν ἑαυτούς, ἐπειδὴ τῇ ἀληθείᾳ μὴ δυνάμεθα, καὶ χρώμασι καὶ βαφαῖς καὶ συνθέσεσι τριχῶν καὶ ἱματίων περιβολαῖς καὶ στροφαῖς ὀφθαλμῶν καὶ πολλοῖς ἑτέροις μηχανήμασι τὰ τοιαῦτα σοφιζόμεθα κάλλη, τίνα ἂν τῇ ψυχῇ καὶ τοῖς σπουδαίοις σχολὴν ἀπενείμαμεν, εἰ πρὸς τὴν ὄντως αὐτὸ εὐμορφίαν μεταθεῖναι εἴχομεν. Τάχα γὰρ οὐδ' ἂν ἐγένετο ἡμῖν ἔργον ἕτερόν τι ἐν τῷ βίῳ εἰ τοῦτο ἔργον ἡμέτερον ἦν. Ἀλλὰ πάντα τὸν χρόνον ἂν ἀνηλώσαμεν, τὴν μὲν δουλίαν καλλωπίζοντες μυρίοις καλλωπισμοῖς, τὴν δὲ ταύτης κυρίαν παντὸς ἀνδραπόδου μᾶλλον ἐν ἀμορφίᾳ καὶ ῥαθυμίᾳ ἐῶντες κεῖσθαι διὰ παντός. Διὰ τοῦτο ταύτης ἡμᾶς

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/65 UNIVERSITÄT LEIPZIG